1re colonne :

**182)**

*Sabino et Anulino cos. [VI] kal. Iunias Antio[chiae Imp. Caesar] M. Aurel. Antoninus Pius Fel. Aug. Par. max. Brit. max. Ge[rm. max.] cum sal. a praef. praet. e. u. item amicis et princ. offic(i)or. sed. in aud. admitti iussit Aur. Carzeum Ser-gi defen. Go[har.] agentem aduersus Auid. Hadrianum mancipem, quam cognitionem dominus suscipere dignatus est, cum aduocato Egnatio Iu-liano, Avid. Hadriano manc. cum aduocato Lolliano Aristaeneto, ex quibus Aristaenetus d.* : παραγράφομαι. *Lollianus d.* : ταγῆναι ἐκέ-λευσες τὴν διάγνωσιν. *Aristaenetus d.* : αἱ ἔκκλητοι νόμῳ γείνονται· ἢ λαμβάνει τὴν ἔκκλητον ὁ ἡγεμὼν καὶ εἰσέρχεταί σου εἰς τὸ δι-καστήριον ἢ μὴ δεξαμένου τοῦ ἡγεμόνος πῶς εἰσαγώγιμός ἐστιν ἡ δίκη ; μετὰ πολλὰς κρίσεις καὶ ἀποφάσεις σὺ ἐνετεύχθης ἐν [ταῖ]ς ἀξιώσεσιν τῶν <ο> Γοα[ρηνη]ῶν. Οὔτε σύνδικος οὐ πρεσβευτής, ἄνθρω-[πος ἀντίδικος ἰδι]ωτικὸς ὢν εἰσήγ(αγ)εν ἔντευξιν ὥστε σε δικαστὴν ἀντὶ ἡγεμόν[ος ἔχειν]· Σὺ [γὰρ] ε[ἶπες αὐτ]ῷ· εἰ βούλεσθε ἀκοῦσαί με, ἀκούσομαι. [Πρότερον οὗτοι οὐ]δὲ ἀ[ν]τιλέγοντ[ες], νῦν ὁπότε εἰσήειμεν νόμῳ δικαστηρίου, [σοι ἐνέτυχον· ἀλλὰ δεῖ λέγει]ν ὅτι οὔτε ἔκκλητον ἔχουσιν οὔτε ἔχειν δύνανται πρὸς [τὸ δικαστήριόν σου. *Lolli*]*anus d.* : γεωργοί οἵ σοι μετὰ τῶν ἄλλων δεήσεων [ἐνέτυχον, καὶ ταύτην τὴν] ἱκεσίαν σοι προσήγαγον· Κάσσιος οὐ προσήκατο τὴν πα[ρα]-[γραφὴν, ὅτι οὐ πρότερο]ν κατεμέμψαντο· εἰσήγαγε[ν πρὸς τὸ] θεῖον δικα-[στήριόν σου μετὰ] τῶν ἄλλων ἀξιώσεων ὥστε σ[ὺ ἐτύγχανες ὢν δικ]αστὴ[ς] ..............κελεύσας τοῦτο ἀναγν[ωσθῆναι............] *d.* : ε.....

3 lignes très mutilées.

2e colonne :

*[Antoninus A]ug. d.* : λέγεις οὖν ὅτι οὐκ ἐξεκαλέσατο ; *Aristaene-tus d.* : [οὐκ ἔχουσιν] ἔκκλητον ὅτι οὐκ ἐξῆν. *Antoninus Aug. d.* : ἴδε οὖν ἵνα ἐγὼ τῇ ἐμαυτοῦ γνώμῃ τι εἰπῶ καὶ ἐν τού-τῳ τῷ [πρ]άγματι· οὔτε ἐξεκαλέσατο οὔτε ἐμέμψ[α]το οὔτε τὸ πρᾶγμα τοῦτο ἐλέχθη παρὰ τῷ ἡγουμένῳ· ἐπὶ τοῦ Αὐτοκράτορος μέμφομαί σε, φησ[ί]ν· οὐ θέλις ἐμὲ ἀκοῦσαι τοῦ πράγματος ; *Aristaenetus d.* λέγω. *Antoninus Aug. d.* : ἐγὼ εἰ ἔσπευδον ἐντεῦθεν ἀναστῆν[αι] ἔλεγον· ἡ παραγραφὴ χωρὰν ἔχει. Ἐν τίσιν οὖν μέμφομαι ; *Lollianus d.* : λέγω ἐντὸς ἡμισείας· *e[t su]biunxit* : ὁ μὲν ἀγὼν ὑπὲρ εὐσεβείας· τοῖς [μὲν γ]εωργοῖς, σοι δὲ πρεσβύτερον εὐσεβείας οὐ-δέν· τῶρα οὖν θαρρο[ῦ]σιν ἐπὶ τοῦ παρόντος ἀγωνιζόμε-νοι παρὰ εὐσεβεστάτῳ βασιλεῖ καὶ δικαστῇ. Διὸς ἱερὸν ἐπιφανές ἐστιν παρ'αὐτοῖς· ἀμέλει παρὰ τῶν περιχώρων ἁπάντων ω.ΕΙ Η θεωρεῖται· βαδίζουσιν αὐτόσσε καὶ πομ[π]ὰς πέμπονται. Τοῦ ἀντιδίκου τοῦτο πρῶτον ἀδίκημα ........καὶ ἀλιτουργία χρῆται καὶ στέφανον χρυσοῦν ἔχων ............ια χρῆται καὶ σκῆπτρον ἐν[κ]εχίρισται καὶ ἱερέα τοῦ Διὸς ἑαυτὸν ἀνεκήρυσεν· ὅπως [ταύτης] ἠξίωται δωρεᾶς ἐπιδεικνύτω· ἐγὼ γὰρ αὐτ[οῦ] [κατεν]αντίον ὅτι μηδὲ ὁ τούτ[ου] πατὴρ ἀναγνώσο-μαι.